[1] Ἀλαρικὸς δὲ οὐδὲ παρὰ τούτων ἐρεθιζόμενος ἤρειτο τὸν πόλεμον, ἀλλὰ ἔτι τὴν εἰρήνην ἐμπρόσθεν ἐποιεῖτο, τῶν ἐπὶ Στελίχωνος σπονδῶν μεμνημένος: στείλας δὲ πρεσβεῖς ἐπὶ χρήμασιν οὐ πολλοὺς εἰρήνην ἥτει γενέσθαι, λαβεῖν τε ὁμήρους Ἀέτιόν καὶ Ἰάσονα, τὸν μὲν Ἰωβίου γενόμενον παῖδα τὸν δὲ Γαυδεντίου, δοῦναί δὲ καὶ αὐτοὺς τῶν παρ᾽ αὐτῷ τινὰς εὖ γεγονότας καὶ ἐπὶ τούτοις ἄγειν τὴν ἡσυχίαν, μεταστῆσαί τε εἰς Παιονίαν ἐκ τοῦ Νωρικοῦ τὸ στράτευμα. [2] Ἐπὶ τούτοις Ἀλαρικοῦ τὴν εἰρήνην αἰτοῦντος, ὁ βασιλεὺς ἀπεσείετο τὰ αἰτούμενα: καίτοι γε δυοῖν ἐχρῆν θάτερον πράξαντα τὸ παρὸν εὖ διαθεῖναι: ἢ γὰρ ἀναβαλέσθαι τὸν πόλεμον ἔδει, σπονδὰς ποιησάμενον ἐπὶ μετρίοις τισὶ χρήμασιν, ἢ πολεμεῖν αἱρούμενον πάντα συνάγειν ὅσα στρατιωτῶν τάγματα ἦν, καὶ ταῖς παρόδοις τῶν πολεμίων ἐγκατασθῆναι, καὶ ἀποκλεῖσαι τὸν βάρβαρον τῆς ἐπὶ τὸ πρόσω πορείας, ἡγεμόνα τε καταστῆσαι καὶ στρατηγὸν τοῦ πολέμου παντὸς Σάρον, ὄντα μὲν καθ᾽ ἑαυτὸν ἄξιον καταπλῆξαι τοὺς πολεμίους διά τε ἀνδρείαν καὶ πολεμικὴν ἐμπειρίαν, ἐκόντα δὲ καὶ βαρβάρων πλῆθος ἀρκοῦν εἰς ἀντίστασιν. [3] Ἀλλ᾽ οὔτε τὴν εἰρήνην δεξάμενος οὔτε τὴν Σάρου θυγατέρα ἐπισπασάμενος οὔτε τὸ ἩΡωμαϊκὸν συνάγων στρατόπεδον, τῶν δὲ Ὀλυμπίου τὰς ἐλπίδας ἀνάρθσας εὐκῶν, τοσούτων αἴτιος ἐγένετο τῷ πολιτεύματι συμφορῶν: στρατηγοῦς τε γὰρ ἐπέσθησε τῷ στρατεύματι καταφρονήσιν ἐμποιήσαι τοῖς πολεμίοις ἀρκούντας, Τουρπιλλίωνα μὲν τοῖς ἱππεῦσιν, Ὀυαράνην δὲ τοῖς πεζοῖς ἐπίσθησας καὶ τὴν τῶν δομεστίκων ἴλην Βιγελάντιον, καὶ τὰ λοιπὰ τούτοις ὁμολογούντα, ὧν ἕνεκα τῇ ἐλπίσι πάντες ἀπεγνώκοτες ἐν ὀφθαλμοῖς ἔχειν ἐδόκουν τὴν τῆς Ἰταλίας ἀπώλειαν.